# ΚΑΝΟΝΑ ΠΙΣΤΕΩΣ - MODEL OF FAITH



**GREEK ORTHODOX ARCHDIOCESE OF AUSTRALIA**
**PARISH OF SAINT NICHOLAS MARRICKVILLE**
Priest: Fr Michael Tsolakis 0418 883 107 | 9558 4453
www.stnicholas.com.au | FaceBook: Parish St Nicholas Marrickville

## Κυριακή 17 Μαρτίου 2024
## Κυριακή τῆς Τυροφάγου

**Ἀπολυτίκιον Ἀναστάσιμον Ἦχος πλ.δ'.**
Ἐξ ὕψους κατῆλθες ὁ εὔσπλαγχνος,ταφὴν κατεδέξω τριήμερον, ἵνα ἡμᾶς ἐλευθερώσῃς τῶν παθῶν. Ἡ ζωὴ καὶ ἡ Ἀνάστασις ἡμῶν, Κύριε δόξα σοι.

**Ἀπολυτίκιον Τοῦ Ἁγίου Νικολάου.**
Κανόνα πίστεως καὶ εἰκόνα πραότητος, ἐγκρατείας διδάσκαλον, ἀνέδειξέ σε τῇ ποίμνῃ σου, ἡ τῶν πραγμάτων ἀλήθεια· διὰ τοῦτο ἐκτήσω τῇ ταπεινώσει τὰ ὑψηλά, τῇ πτωχείᾳ τὰ πλούσια, Πάτερ ἱεράρχα **Νικόλαε**· πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Ἀπολυτίκιον. Κοσμά και Δαμιανού**
Άγιοι Ανάργυροι καί θαυματουργοί, επισκέψασθε τάς ασθενείας ημών, δωρεάν ελάβετε, δωρεάν δότε ημίν.

**Ἀπολυτίκιον Τοῦ Ἁγίου Παΐσιου**
**Τόν συνάναρχον Λόγον**
Αὐστραλίας προστάτην, φρουρόν τε ἄγρυπνον, καί τοῦ Ἄθωνος ὄρους στύλον ἀείφωτον, ἀνυμνήσωμεν πιστοί, θεῖον **Παΐσιον**, ἐξαιτούμενοι αὐτοῦ τάς πρεσβείας πρός Θεόν, κραυγάζοντες ὁμοφρόνως˙ ῥύου ὦ πάτερ παντοίων, τῶν τοξευμάτων τοῦ ἀλάστορος.

**Κοντάκιον.**
Τῆς σοφίας ὁδηγέ, φρονήσεως χορηγέ, τῶν ἀφρόνων παιδευτά, καὶ πτωχῶν ὑπερασπιστά, στήριξον, συνέτισον τὴν καρδίαν μου Δέσποτα. Σὺ δίδου μοι λόγον, ὁ τοῦ Πατρός Λόγος· ἰδοὺ γὰρ τὰ χείλη μου, οὐ μὴ κωλύσω ἐν τῷ κράζειν σοι· Ἐλεῆμον, ἐλέησόν με τὸν παραπεσόντα.

## Sunday 17 March 2024
## Cheesefare Sunday

**Resurrectional Apolytikion**
From on high you descended, Compassionate One, you accepted three days in the tomb, in order to free us from our suffering. Our life and resurrection, Lord, glory to you.

**St Nicholas Hymn**
A model of faith and the image of gentleness, the example of your life has shown you forth to your sheep-fold to be a master of temperance. You obtained thus through being lowly, gifts from on high, and riches through poverty, **Nicholas**, our father and priest of priests, intercede with Christ our God that He may save our soul.

**Sts Cosmas & Damianos**
Sainted Unmercenaries and Wonder Workers, regard our infirmities; freely you have received, freely share with us.

**St Paisios Hymn**
**The Word Eternal**
O Protector of Australia, vigilant guardian and resplendent pillar of Mount Athos, we the faithful let us praise the holy **Paisios**, and beseeching his intercessions before God, crying out with one voice, deliver us, O father of all, from the arrows of the vengeful one

**Kontakion of Forgiveness**
O guide to wisdom, provider of prudence, disciplinarian of fools, and defender of the poor, fortify and discipline my heart, O Master; You, give me a word, O Word of the Father. For behold, I will not hinder my lips from crying to You: O merciful Lord, have mercy on me who have fallen.

**ΑΠΟΣΤΟΛΟΣ**
**Πρὸς Ῥωμαίους Ἐπιστολῆς Παύλου**
**(ιγ', 11-14; ιδ', 1-4)**

Ἀδελφοί, νῦν ἐγγύτερον ἡμῶν ἡ σωτηρία ἢ ὅτε ἐπιστεύσαμεν. Ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν· ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ σκότους, καί ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτός. Ὡς ἐν ἡμέρᾳ, εὐσχημόνως περιπατήσωμεν, μὴ κώμοις καὶ μέθαις, μὴ κοίταις καὶ ἀσελγείαις, μὴ ἔριδι καὶ ζήλῳ. Ἀλλ᾽ ἐνδύσασθε τὸν κύριον Ἰησοῦν Χριστόν, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε, εἰς ἐπιθυμίας. Τὸν δὲ ἀσθενοῦντα τῇ πίστει προσλαμβάνεσθε, μὴ εἰς διακρίσεις διαλογισμῶν. Ὃς μὲν πιστεύει φαγεῖν πάντα, ὁ δὲ ἀσθενῶν λάχανα ἐσθίει. Ὁ ἐσθίων τὸν μὴ ἐσθίοντα μὴ ἐξουθενείτω, καὶ ὁ μὴ ἐσθίων τὸν ἐσθίοντα μὴ κρινέτω· ὁ θεὸς γὰρ αὐτὸν προσελάβετο. Σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; Τῷ ἰδίῳ κυρίῳ στήκει ἢ πίπτει. Σταθήσεται δέ· δυνατὸς γάρ ἐστιν ὁ θεὸς στῆσαι αὐτόν.

**EPISTLE**
**St. Paul's Letter to the Romans**
**(13:11-14; 14:1-4)**

Brethren, salvation is nearer to us now than when we first believed; the night is far gone, the day is at hand. Let us then cast off the works of darkness and put on the armor of light; let us conduct ourselves becomingly as in the day, not in reveling and drunkenness, not in debauchery and licentiousness, not in quarreling and jealousy. But put on the Lord Jesus Christ, and make no provision for the flesh, to gratify its desires.

As for the man who is weak in faith, welcome him, but not for disputes over opinions. One believes he may eat anything, while the weak man eats only vegetables. Let not him who eats despise him who abstains, and let not him who abstains pass judgment on him who eats; for God has welcomed him. Who are you to pass judgment on the servant of another? It is before his own master that he stands or falls. And he will be upheld, for God is able to make him stand.

**Εὐαγγελιου τῆς Συγχώρεση**
**Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου**
**(στ΄, 14-21)**

Εἶπεν ὁ Κύριος· Ἐὰν γὰρ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος· ἐὰν δὲ μὴ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, οὐδὲ ὁ πατὴρ ὑμῶν ἀφήσει τὰ παραπτώματα ὑμῶν. Ὅταν δὲ νηστεύητε, μὴ γίνεσθε ὥσπερ οἱ ὑποκριταὶ σκυθρωποί· ἀφανίζουσι γὰρ τὰ πρόσωπα αὐτῶν ὅπως φανῶσι τοῖς ἀνθρώποις νηστεύοντες· ἀμὴν λέγω ὑμῖν ὅτι ἀπέχουσι τὸν μισθὸν αὐτῶν. σὺ δὲ νηστεύων ἄλειψαί σου τὴν κεφαλὴν καὶ τὸ πρόσωπόν σου νίψαι,ὅπως μὴ φανῇς τοῖς ἀνθρώποις νηστεύων, ἀλλὰ τῷ πατρί σου τῷ ἐν τῷ κρυπτῷ, καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀποδώσει σοι ἐν τῷ φανερῷ. Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς, ὅπου σὴς καὶ βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται διορύσσουσι καὶ κλέπτουσι· θησαυρίζετε δὲ ὑμῖν θησαυροὺς ἐν οὐρανῷ, ὅπου οὔτε σὴς οὔτε βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται οὐ διορύσσουσιν οὐδὲ κλέπτουσιν· ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ ἔσται καὶ ἡ καρδία ὑμῶν.

**Gospel of Forgiveness**
**Holy Gospel of Matthew**
**(6:14-21)**

The Lord said, "If you forgive men their trespasses, your heavenly Father also will forgive you; but if you do not forgive men their trespasses, neither will your Father forgive your trespasses.

"And when you fast, do not look dismal, like the hypocrites, for they disfigure their faces that their fasting may be seen by men. Truly, I say to you, they have received their reward. But when you fast, anoint your head and wash your face, that your fasting may not be seen by men but by your Father who is in secret; and your Father who sees in secret will reward you.

"Do not lay up for yourselves treasures on earth, where moth and rust consume and where thieves break in and steal, but lay up for yourselves treasures in heaven, where neither moth nor rust consumes and where thieves do not break in and steal. For where your treasure is, there will your heart be also."

## Κυριακή τῆς Τυρινής

## Τοῦ Τριωδίου

Τῇ αὐτῇ ἡμέρᾳ, ἀνάμνησιν ποιούμεθα τῆς ἀπὸ τοῦ Παραδείσου τῆς τρυφῆς ἐξορίας τοῦ Πρωτοπλάστου Ἀδάμ.

Στίχοι

*Κόσμος γενάρχαις πικρὰ συνθρηνησάτω.*
*Βρώσει γλυκείᾳ, συμπεσὼν πεπτωκόσι*

Τῇ ἀφάτῳ σου εὐσπλαγχνίᾳ, Χριστὲ ὁ Θεὸς ἡμῶν, τῆς τρυφῆς τοῦ Παραδείσου ἡμᾶς καταξίωσον, καὶ ἐλέησον, ὡς μόνος φιλάνθρωπος. Ἀμήν.

## Cheesefare Sunday

The Holy Fathers have appointed today as the **Sunday of Forgiveness,** and the commemoration of Adam's exile from the Paradise of delight here, on the eve of the holy Forty-day Fast, demonstrating to us not by simple words, but by actual deeds, how beneficial fasting is for man, and how harmful and destructive are overindulgence and the transgressing of the divine commandments. For the first commandment that God gave to man was that of fasting, which the first-fashioned received but did not keep; and not only did they not become gods, as they had imagined, but they lost even that blessed life which they had, and they fell into corruption and death, and transmitted these and innumerable other evils to all of mankind.

The God-bearing Fathers set these things before us today, that by bringing to mind what we have fallen from, and what we have suffered because of the overindulgence and disobedience of the first-fashioned, we might be diligent to return again to that ancient bliss and glory by means of fasting and obedience to all the divine commands. Taking occasion from today's Gospel (Matt. 6:14-21) to begin the Fast unencumbered by enmity, **we also ask forgiveness this day, first from God, then from one another and all creation.**